νοίας οὐκ ἄνευ ἠξιώθης τῆς βασιλείας, καὶ ὅς σε τῆς ἀρετῆς ἄνευ
οὐκ ἂν ἠξίωσε τοῦ τοιούτου. βασιλεύοντα δὲ ἁπάντων, ὅσοι τὸ
τριπόθητον ἔχουσιν ὄνομα τοῦ Χριστοῦ. βασιλεύοντα δὲ τῶν πα-
θῶν τῶν τε θύραθεν καὶ τῶν ἔνδον. ὦ αὐτὸς ἑαυτοῦ βασιλεύτερος
ἂν εἰκότως κληθείης. εἰ γάρ τις τῷ βασιλεῦ ἄλλων μὲν ὅλων
κρατοίη, αὐτοῦ δὲ μὴ, καὶ τῶν σφετέρων παθῶν, εἴη ἂν οὗτος καὶ λέ-
γοιτ' ἂν ἀξίως ἡμιτελὴς βασιλεύς. ὃς δ' ἂν ἑκατέρων τούτων
στήσαιτο τρόπαια, καὶ μήτ' ἐκεῖθεν μήτ' ἐντεῦθεν ἁλοίη, τοῦ-
τον ἔσω καὶ πάντες βασιλέα καλοῦμεν. τοῦτον δεῖ βασιλεύειν
τῶν ἐπὶ γῆς ἡγεμόνων. τοῦτον στέφει μὲν ὁ θεός, ἄνθρωποι δὲ προσ-
κυνοῦσιν, ἀσκεπεῖς καὶ γονυπετοῦντες, ὥσπερ αὐτοῦ ἀπείλη-
τῷ στεφανίτῃ θεῷ. ἐπεὶ δ' οὗτος ὑπάρχεις αὐτὸς, ὃν εἴπω-
σα τῷ λόγῳ θειότατε βασιλεῦ, καθάπερ Ἀριστώνυμος εἶπε,
καὶ τῆς φήμης συμμαρτυρούσης, βασιλεύσειας ἂν ἔσωθε θαρ-
ρούντως ἐλπίζω, καὶ τοῦ τῶν Τεύκρων μὲν ἡγεμόνος, φθο-
ρέως δὲ τῆς Ἑλλάδος. καὶ τοιούτου φθορέως, καὶ τοῖς πᾶσι δρασ-
κράτου, ὥστ' αὐτοῦ τῶν προγόνων ἁπάντων ἐν τοῖς τοιούτοις
ἀγῶσι [sic] τοὺς στεφάνους ἀνῃρημένου. τῆς Θρᾴκης καὶ Χερ-
ρονήσου. Μακεδονίας τε καὶ ἠπείρου. Μυσίας τῆς κάτω καὶ
Ἀχαΐας. Αἰτωλικῆς τε καὶ Θετταλίας. Πλαταιῶν τε καὶ Βοιωτίας.
Πελοποννήσου [sic] τε τῆς πολυυμνήτου καὶ θείας. ἣν ὀφθαλμοὺς
οἰκουμένης καλέσας, οὐκ ἂν ἁμάρτοιμι τοῦ προσήκοντος.
ἕως τὸ νῦν ἔχον, Λακεδαιμονίαν καὶ Ἀρκαδίαν, Μαντίνειαν καὶ
Μεσσήνην, πάσας τε ἄλλας πόλεις καὶ ταύτας γε μητροπό-
λεις [sic], ἅς ποτ' εἶχεν ἐν ἅπασι δεξιὰς, ἡ πολυύμνητος
Πελοπόννησος. μὴ ὅσον οὔσας θαύματα τῆς Ἑλλάδος, ἀλλὰ καὶ
αὐτῆς γε δὴ τῆς οἰκουμένης ἁπάσης. Ἀμπρακίας καὶ Ἰλλυ-
ρίδος. Λευκάδος καὶ Θεσπρωτίδος. Ταυλαντίας θ' ἁπάσης
καὶ μέρος γε Δαλματίας. Δακίας καὶ Τριβαλλίας, καὶ τῆς
ἄνω Μυσίας. ἀλλ' αὗται μὲν ἐπαρχίαι τῆς ἐν Εὐρώπῃ ὧν

Turcos vocat Teucros, quo m[odo] Benedictus Accoltus Aretinus dialogo de praestantia virorum sui aevi p. 22. ed. Magliabechi.

superscriptum v ab alia & forte secundum manu. Vide meam orthographiam Graecam.